Quemadmodum igitur præoccupationibus & erga iudices, & erga aduersarios sit vtendum, ex his sciemus.

## CAPVT XX.

Postulata verò in orationibus sunt, quę ab auditoribus oratores postulant. Horum autem alia sunt iusta, alia verò iniusta. Iustum quidem postulatum est, per quod iis, quæ loquimur, attentionem præstari, ac benignè audiri petimus. Iniustum verò, quo secundum leges nos iuuari, ac nihil præter leges in nos decerni, & casibus ignoscendum postulamus. Si quidem postulatum præter leges fuerit, iniustum: si verò secundum leges fuerit, iustum dicitur. Postulata igitur sunt huiuscemodi: ipsorum autem differentias diuisimus, quo & iustum, & iniustum postulatum dignoscentes, non ineptè iis vti possimus, & ne nos aduersarij lateant, cùm iniustum quicquam à iudicibus flagitant. Et de iis quidem, & ex antè dictis scire poterimus.

## CAPVT XXI.

Iteratio autem est breuis admonitio. Ea verò vtendum est tum circa partium, tum circa totius orationis exitum. Iterabimus autem summatim vel ratiocinando, vel interrogando, vel enumerãdo, vel eligendo. Ipsorum autem vnumquodque quale sit demonstrabo. Ratiocinari igitur est huiusmodi: Ambigo autem ipse quidem quid hi fecerint, nisi vos planè antea reliquissent: arguebatur autem aduersus hanc vrbem nostram cum exercitu processisse: nihil verò eorum vnquam, quæ spopondissent, factitarunt. Itaque ratiocinari est huiusmodi. Enumerare autem tale est. Demonstraui autem ipsos, qui priores societatem soluêre, qui primùm nos sunt adorti, quo tempore aduersus Lacedæmonios bellum gerebamus, quíque maximè studere vrbem nostram in prædam vertere. Enumerare igitur est huiusmodi. Ex electione autem admonere est huiusmodi: Recordari oportet contigisse nobis, vt postea quàm societatem cum iis iniuimus, nihil vnquam mali ab hostibus passi sumus. Nam cùm sæpenumero nobis auxilio venissent, Lacedæmonios, qui nostrum agrum deuastarent, propulsarunt: multas etiam pecunias, etiam hoc tempore ad nos deferunt. Ex electione igitur hoc modo admonebimus: ex interrogatione verò hoc modo: libenter autem ex istis quærerem, quid vobis pro conuentis

A τὰς μὲν οὖν προκαταλήψεις ὡς δεῖ χρῆσθαι καὶ πρὸς τοὺς κριτὰς, καὶ πρὸς τοὺς ἐναντίους, ἴσμεν διὰ τούτων.

Κεφάλαιον κ.

Αἰτήματα δέ ἐστιν ἐν τοῖς λόγοις, ἃ παρὰ τῶν ἀκουόντων οἱ λέγοντες αἰτοῦνται. τούτων δέ ἐστι, τὰ μὲν ἄδικα, τὰ δὲ δίκαια. δίκαιον μὲν οὖν ἐστι, τό τε προσέχειν τοῖς λεγομένοις αἰτεῖσθαι, καὶ μετ' εὐνοίας ἀκούειν. δί- B καιον δὲ καὶ τὸ κατὰ τοὺς νόμους αὐτῷ βοηθῆσαι, καὶ τὸ μηδὲν παρὰ τοὺς νόμους ψηφίσασθαι, καὶ τὸ τοῖς ἀτυχήμασι συγγνώμην ἔχειν. ἐὰν μὲν ᾖ παρὰ τοὺς νόμους, ἄδικον· ἐὰν δὲ μὴ, δίκαιον. τὰ μὲν οὖν αἰτήματα, ταῦτά ἐστι. διειλόμεθα δὲ αὐτῶν τὰς διαφορὰς, ἵν' εἰδότες τό, τε δίκαιον καὶ τὸ ἄδικον, χρώμεθα κατὰ τὸν καιρὸν, καὶ μὴ λανθάνωσιν ἡμᾶς οἱ ἐναντίοι, ἄδικόν τι C αἰτοῦντες τοὺς δικάζοντας. καὶ περὶ μὲν τούτων ἐκ τῶν εἰρημένων οὐκ ἀγνοήσομεν.

Κεφάλαιον κα.

Παλιλλογία δὲ, ἐστι μὲν σύντομος ἀνάμνησις· δεῖ δὲ αὐτῇ χρῆσθαι καὶ περὶ τῶν μερῶν καὶ περὶ τῶν ὅλων λόγων τὰς τελευτάς. παλιλλογήσομεν δὲ ἐν κεφαλαίοις, ἢ διαλογιζόμενοι, ἢ προαιρούμενοι, ἢ προσερωτῶντες, ἢ ἀπολογιζόμενοι. δείξω δὲ αὐτῶν ὁποῖόν ἕκαστόν ἐ- D στι. τὸ μὲν οὖν διαλογίζεσθαι τοιόνδε τί ἐστιν· ἀπορῶ δ' ἔγωγε τί ἂν ἐποίησαν οὗτοι, εἰ μὴ φανεροὶ μὲν ἦσαν ἡμᾶς πρότερον ἐγκαταλελοιπότες, ἐξηλέγχοντο δὲ ἐπὶ τὴν πόλιν ἡμῶν στρατεύσαντες, οὐδὲν δὲ πώποτε ὧν ὡμολογήκασι ποιήσαντες. τὸ μὲν οὖν διαλογίζεσθαι τοιοῦτόν ἐστι. τὸ δὲ ἀπολογίζεσθαι τοιοῦτον· ἀπέδειξα δ' αὐτοὺς διαλύσαντας προ- E τέρους τὴν συμμαχίαν, καὶ πρώτους ἐπιθεμένους ἡμῖν, ὅτε πρὸς Λακεδαιμονίους ἐπολεμοῦμεν, καὶ μάλιστα σπουδάσαντας ἐξανδραποδίσασθαι τὴν πόλιν ἡμῶν. τὸ μὲν οὖν ἀπολογίζεσθαι, τοιόνδε ἐστι. τὸ δ' ἐκ προαιρέσεως ἀναμιμνήσκειν, τοιόνδε· ἐνθυμεῖσθαι δὲ δεῖ, ὅτι συμβέβηκεν ἡμῖν ἐξ ὅτου τὴν φιλίαν πρὸς τούτους ἐποιησάμεθα, μηδέποτε κακὸν ὑπὸ F τῶν πολεμίων παθεῖν. βοηθήσαντες γὰρ ἡμῖν πολλάκις, ἐκώλυσαν Λακεδαιμονίους τὴν χώραν ἡμῶν διαφθεῖραι· χρήματα δὲ πολλὰ καὶ νῦν φέροντες διατελοῦσιν. ἐκ προαιρέσεως μὲν οὕτως ἀναμνήσομεν. ἐξ ἐπερωτήσεως δὲ τόνδε τὸν τρόπον· ἡδέως δ' ἂν αὐτῶν πυθοίμην, διὰ τί τὰς συντάξεις ἡμῖν οὐκ ἀπο-